# Dossier :

# quelques affranchissements de Delphes
# que je n'ai pas photographiés
# mais qui présentent des particularités intéressantes.

- 1 - un affranchissement avec clause de remplacement si l'affranchie veut se libérer de la paramonè et une autre clause : quand les anciens maîtres seront morts, l'affranchie devra payer une mine au fils pour être définitivement libre.

SGDI II 1717 — Delphes — 170-157/6 av. J.C.

ἄρχοντος Ἀμφιστράτου μηνὸς Ἡρακλείου, ἐπὶ τοῖσδε ἀπέδοντο [Κα]λλίστρατος Μαντία, Θαύμιον Κλέωνος, συνεπαι-
νέοντος τοῦ υἱοῦ [Ε]ὐκλέ[ος], τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα [γ]υναικεῖον ἆι ὄνομα Ἀφροδισία τὸ γένος Σύραν, τιμᾶς
ἀργυρίου μνᾶν τριῶν. βε[βαι]ωτὴρ κατὰ τὸν νόμον Ἀστύοχος Γνωσίλα. παραμεινάτω δὲ Ἀφροδισία παρὰ Καλλίστρατον
καὶ Θαύ[μ]ιον ἄχρι οὗ κα ζώω[ν]τι, ποέουσα τὸ ποτιτασσόμενον πᾶν τὸ δυνατὸν ἀνεγκλήτως. εἰ δέ τί κα πάθων[τ]ι Καλλίστρατος
καὶ Θαύμιον, ἀποδότω Ἀφροδ[ι]σία Εὐκλεῖ ἀργυρίου μνᾶν κ[αὶ] ἐλε[υ]θέρα ἔστω, καθὼς ἐπίστευσε Ἀφροδισία τῶι θεῶι
τὰν ὠ[νάν], ἐφ' ὧιτε ἐλευθέρα εἶμ[εν κ]αὶ ἀνέφαπτος ἀπὸ πάντω[ν]. εἰ δὲ πρότερον θέλοι Ἀφροδισία ἀπολύεσθαι ἀπὸ Καλλιστράτου
καὶ Θα[υμί]ου ζωόντων, ἀντιπρι[άσ]θω Ἀφροδισία Καλλιστράτω[ι κ]αὶ Θαυμίωι σῶμα γυν[α]ικεῖον τὰν αὐτὰν ἀλικίαν
ἔχον· εἰ δ[ὲ] μὴ ποέοι Ἀφροδισία τ[ὸ πο]τιτασσόμενον δυνατὰ ἐοῦσα [ἢ μ]ὴ παραμένοι, ἐξουσίαν ἐχόντω [Θ]αύμιον καὶ
Καλλίστρατος κολάζειν ὧι κα θ[έ]λωντι τρόπωι. ἐπεὶ δέ κα τελευτάσωντι Καλλίστρατος καὶ Θαύμιον καὶ ἀποδώη
Ἀφροδισία Εὐκλεῖ τὰμ μνᾶν ἢ πρότερον ἀντιπριάηται τὸ σῶμα, καὶ ἅπτηταί τις Ἀφροδισίας ἐπὶ κ[α]ταδουλισμῶι, {βε}
βέβαιον παρεχόντω τῶι θεῶι τὰν ὠνὰν οἵ τε ἀποδόμενοι ἢ οἱ ἐπίνομοι καὶ ὁ βεβαιωτὴρ Ἀστύοχος, καὶ ὁμοίως κύριος
ἔστω ὁ παρατυχὼ[ν] συλέων Ἀφροδισίαν ὡς ἐλευθέραν οὖσαν ἀζάμιος ὢν καὶ ἀνυπ[όδ]ικος πάσας δίκας καὶ ζαμίας.
μάρτυ{τ}ρες {μάρτυρες}· ὁ ἱερεὺς τοῦ Ἀπόλλωνος Ἀμύντας καὶ τῶν ἀρχόντων Τελέσαρχος, ἰδιῶται Βούλων, Μαντίας Δαμο-
χάρεος, Ἀμεινίας.

` ` ` ` ` ` ` ` ` ` ` ` ` ` ` ` ` ` ` ` ` ` ` ` ` ` ` ` ` ` ` ` ` ` ` ` ` ` ` ` ` ` ` ` ` ` ` ` ` ` ` ` ` ` ` ` ` ` ` ` ` ` ` ` ` ` ` ` ` ` ` `

- 2 - Affranchissement à Delphes d'un esclave d'un Thessalien de Gortyne? (Gyrtônios), avec 17 témoins !

SGDI II 1720 — Delphes — 170-157/6 av. J.C.

ἄρχοντος ἐν Δελφοῖς Ἀνδρονίκου τοῦ Φρικίδα μηνὸς Ἐνδυσποιτροπίου, ἐν δὲ Θεσσαλίαι στραταγέον-
τος Δαμοθοίνου μηνὸς Θύου ὡς Θεσσαλοὶ ἄγοντι, ἀπέδοτο Εὐκλείδας Θεοδότου Γυρτώνιος σῶμα ἀνδρεῖον ὧι ὄνομα
Ἀλέξανδρος, ὃν εἶχε ἐν τᾶι ὠνᾶι πάπον, τὸ γένος Μακεδόνα, τῶι Ἀπόλλωνι τῶι Πυθίωι, τιμᾶς ἀργυρίου μνᾶν τεσσά-
ρων, καὶ τὰν τιμὰν ἔχει πᾶσαν, καθὼς ἐπίστευσε Ἀλέξανδρος τῶι θεῶι τὰν ὠνάν, ἐφ' ὅτωι ἐλεύθερος ἔσται
καὶ ἀνέφαπτος ἀπὸ πάντων τὸν πάντα βίον, ποιῶν ὅ κα θέλη καὶ ἀποτρέχων οἷς κα θέλη. βεβαιωτῆρες
κατὰ τοὺς νόμους· Ἄλεξις Δαμοτέλεος Δελφός, Ἀγέπολις Εὐετήρου Θεσσαλὸς ἐκ Γυρτῶνος. εἰ δέ
τις ἐφάπτοιτο Ἀλεξάνδρου ἐπὶ καταδουλισμῶ, βέβαιον παρεχόντω τῶι θεῶι τὰν ὠνὰν ὅ τε ἀποδόμε-
νος Εὐκλείδας καὶ οἱ βεβαιωτῆρες Ἄλεξις καὶ Ἀγέπολις· εἰ δὲ μὴ παρέχοιεν, ὑπόδικοι ἔστωσαν κατὰ
τοὺς νόμους. ὁμοίως δὲ καὶ οἱ παρατυνχάνοντες κύριοι ἐόντω συλέοντες ὡς ἐλεύθερον ὄντα Ἀλέξαν-
δρον ἀζάμιοι ὄντες καὶ ἀνυπόδικοι πάσας δίκας καὶ ζαμίας. μάρτυρες· οἱ ἱερεῖς τοῦ Ἀπόλλωνος Ἀμύντας,
Ταραντῖνος καὶ τῶν ἀρχόντων Ἄθαμβος Ἀβρομάχου, Ἄρχων Καλλία, ἰδιῶται Βούλων, Εὐκλείδας, Πραξίας,
Βάκχιος, Ἀρίστων, Καλλίμαχος, Διονύσιος, Τιμόκριτος, Ἀνδρόνικος, Νικέας, Φίλαγρος, Ἀστόξενος, Ἀντι-
κράτης Φιλοξένου Λαρισαῖος.

` ` ` ` ` ` ` ` ` ` ` ` ` ` ` ` ` ` ` ` ` ` ` ` ` ` ` ` ` ` ` ` ` ` ` ` ` ` ` ` ` ` ` ` ` ` ` ` ` ` ` ` ` ` ` ` ` ` ` ` ` ` ` ` ` ` ` ` ` ` ` `

- 3 et 4 - Un affranchissement avec des clauses différentes:
L'esclave une fois affranchie devra s'occuper de ses parents, qu'ils soient esclaves ou affranchis.

SGDI II 1708 — Delphes — 170-157/56 av. J.C.

ἄρχο[ντος Ἀμφι]στ[ράτου]
μηνὸς [— — —]
κου, ἐπὶ τοῖσ[δε ἀπέδ]ο[τ]ο Τι-
μὼ Εὐδίκου, συνεπαινέοντος
τοῦ υἱοῦ αὐτᾶς Λαδίκου, σῶμα γυ-
ναικεῖον κοράσιον ἆι ὄνομα Μήδα,
τιμᾶς ἀργυρίου δύο μνᾶν, καθὼς ἐπί-
στευσε Μήδα τῶι θεῶι τὰν ὠνάν, ἐφ' ὧι-
τε ἐλευθέρα εἶμεν καὶ ἀνέφαπτος
ἀπὸ πάντων τὸμ πάντα χρόνον, ποιοῦ-
σα ὅ κα θέληι. βεβαιωτὴρ κατὰ τοὺς
νόμους τᾶς πόλιος· Δρομοκλείδας. τρε-
φέτω δὲ Μήδα Σωσίβιον τὸν ἴδιον πατέ-
[ρ]α καὶ τὰμ ματέρα Σωσὼ καὶ εὐσχημο-
νιζέτω, ἐπεί κα ἐν ἀλικίαν ἔλθη, εἰ χρείαν ἔ-
χοισαν Σωσίβιος ἢ Σωσὼ τροφᾶς ἢ εὐσχημονι-
σμοῦ, εἴτε δουλεύοντες εἶεν εἴτε ἐλεύθεροι
γεγονότες· εἰ δὲ μὴ τρέφοι ἢ μὴ εὐσχημονίζοι Μήδα
Σωσίβιον ἢ Σωσὼ χρείαν ἔχοντας, ἐξουσία ἔστω
Σωσιβίωι καὶ Σωσοῖ κολάζειν Μήδαν ὧ[ι] θέλοιν

τρόπωι, καὶ ἄ[λλ]ωι ὑπὲρ Σωσίβιον ἢ Σωσὼ ὅγ κα κε-
λεύη Σωσίβιος ἢ Σωσώ. εἰ δέ τις ἐφάπτοιτο Μήδας
ἐπὶ καταδουλισμῶι, βέβαιον παρεχόντω τῶι
θεῶι τὰν ὠνὰν ἅ τε ἀποδομένα Τιμὼ καὶ ὁ βεβαι-
ωτὴρ Δρομοκλείδας· εἰ δὲ μὴ παρέχοισαν, πράκτιμοι
ἔστων Μήδαι καὶ Σωσιβίωι καὶ Σωσοῖ ἀργυρίου μνᾶν
{μ[ν]ᾶν} τεσσάρων κατὰ τὸν νόμον ἅ τε ἀποδομένα καὶ
ὁ βεβαιω[τ]ήρ. ὁμοίως δὲ καὶ ὁ παρατυχὼν κύριος ἔστω
Μήδαν σ[υλ]έων ὡς ἐλευθέραν ἀνυπόδικος ἐὼν καὶ ἀ-
ζάμιος πάσας δίκας καὶ ζαμίας, καθώς κα συλάση ἐπ' ἐ-
λευθερίαι. μάρτυρες· οἱ ἱερεῖς τοῦ Ἀπόλλωνος Ἀμύντας
καὶ τῶν ἀρχόντων Ἄσανδρος, ἰδιῶται Μένης, Εὐκλῆς Ἐτυ-
μώνδα, Μεσατεύς, Ἄρχων Καλλία, Ἄθαμβος Ἀγάθω-
νος, Τυρβαῖος.

Ses parents sont-ils ceux qui sont affranchis ci-dessous ? Certains des garants sont les mêmes : le prêtre Ἀμύντας, Ἄσανδρος(qui est archonte dans la première inscr et simple citoyen dans la seconde), ou de la même famille : Εὐκλῆς Ἐτυμώνδα et Ἀριστόμαχος Ἐτυμώνδα

SGDI II 1836 — Delphes — 170-157/156 av. J.C.

ἄρχοντος Κλέωνος μηνὸς Βουκατίου, ἐπὶ τοῖσδε ἀπέδοτο Νικὼ Χαριξένου τῶι Ἀπόλλωνι τῶι
Πυθίωι σώματα ἀνδρεῖα δύο οἷς ὀνόματα Σωσίβιος, Σωτίων καὶ γυναικεῖον ἓν κοράσιον ὧι ὄνομα
Σωσὼ ἐνδογενεῖς, τιμᾶς ἀργυρίου μνᾶν δεκαδύο. βεβαιωτῆρες κατὰ τὸν νόμον· Ἀνδρόνικος Πατρέα,
Ἀστόξενος Διονυσίου Δελφοί. παραμεινάντω δὲ Σωσίβιος, Σωτίων, Σωσὼ παρὰ Νικὼ ἄχρι κα ζώη Νικὼ
ποέοντες τὸ ποτιτασσόμενον πᾶν τὸ δυνατὸν ἀνεγκλήτως· εἰ δέ τί κα μὴ ποέωντι τῶν ποτιτασσο-
[μέ]νων ὑπὸ Νικοῦς καθὼς γέγραπται δυνατοὶ ἐόντες, ἐξέστω Νικοῖ κολάζειν καθώς κα αὐτὰ θέ-
λη καὶ ἄλλω ὑπὲρ Νικὼ ἀζαμίοις ὄντοις καὶ ἀνυποδίκοις πάσας δίκας καὶ ζαμίας. εἰ δέ τί κα πάθη Νικώ, ἐλεύ-
θεροι ἐόντω Σωσίβιος, Σωτίων, Σωσὼ κυριεύοντες αὐτοσαυτῶν καὶ ἀποτρέχοντες οἷς κα θέλωντι καὶ ποέον-
τες ὅ κα θέλωντι, καθὼς ἐπίστευσαν τῶι θεῶι τὰν ὠνάν. εἰ δέ τίς κα ἅπτηται Σωσιβίου ἢ Σωτίωνος ἢ Σωσοῦς
ἐπεί κα τελευτάση Νικώ, βέβαιον παρεχόντω οἱ βεβαιωτῆρες τῶι θεῶι τὰν ὠνὰν κατὰ τὸν νόμον. ὁμοίως
δὲ καὶ οἱ παρατυγχάνοντες κύριοι ὄντω συλέοντες ὡς ἐλευθέρους ὄντας ἀζάμιοι ὄντες καὶ ἀνυπό-
δικοι πάσας δίκας καὶ ζαμίας. μάρτυροι· τοὶ ἱερεῖς τοῦ Ἀπόλλωνος Ἀμύντας, Ταραντῖνος, τῶν δὲ ἀρχόν-
των Ἧρυς Πλείστωνος, ἰδιῶται Κριτόλαος, Ἐ<χέ>φυλος, Φιλοκράτης, Ξένων, Νεύστρατος, Ἄσανδρος,
Ἀριστόμαχος Ἐτυμώνδα.

- 5 - La cité de Delphes vend à Apollon un esclave :

SGDI II 1706 — Delphes — c.150-140 av. J.C.

ἄρχοντος Εὐδώρου μηνὸς Δαιδαφορίου, ἀπέδοτο ἁ πόλις
τῶν Δελφῶν τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα ἀνδρεῖον ὧι ὄνο-
μα Εὐτυχίδας ἐνδογενῆ, τιμᾶς ἀργυρίου μνᾶν τεσσάρων,
καθὼς ἐπίστευσε Εὐτυχίδας τὰν ὠνὰν τῶι θεῶι, ἐφ' ὅτωι
ἐλεύθερον εἶμεν καὶ ἀνέφαπτον ἀπὸ πάντων τὸν πάντα
βίον, καὶ τὰν τιμὰν ἔχει πᾶσαν. βεβαιωτὴρ κατὰ τοὺς νό-
μους τᾶς πόλιος· Καλλίμαχος Βαβύλου. μάρτυροι· οἱ ἱερεῖς τοῦ
Ἀπόλλωνος Ἀνδρόνικος, Πραξίας, ἰδιῶται Δρομοκλείδας, Ἁγί-
ων Κλευδάμου, Δαμόστρατος, Μένης, Φίλαγρος.

- 6 - trafic d'enfants ?

FD III 6:38 — Delphes — 20-46 apr. J.C.

ἀ[γ]αθῇ τύχᾳ.
ἄρχοντος Διον<υ>σίου τοῦ Ἀστοξένου [τ]ὸ τρίτον, μ[ην]ὸς [Θ]εοξενίο[υ .......] βουλευ-
όντων Πολυτειμίδα τοῦ Λαιάδα, Σωτήρου τοῦ Κτήσωνος, ἀπέδοτο Εὐ[πορία τῷ Ἀ]-
πόλλωνι τῷ Πυθίῳ σώματα δύο, οἷς ὀνόματα Ἐπι[φάνε]α καὶ Ἐπαφρῶ, τειμᾶς ἀ[ργυ]-
ρίου μνᾶν ἕξ, καὶ τὰν τειμ<ὰ>ν ἀπέχω πᾶσαν. κα<θ>έστακ[α] δὲ καὶ βε[β]αιωτῆρας Δωρό-
θεον Κριτολάου καὶ Κλέανδρον Φίλωνος κατὰ τοὺς νόμους τᾶς πόλιος, ἐπὶ τοῖσ-
δε ὥστε παραμείνωντι Εὐπορίᾳ πάν<τα> τὸν τᾶς ζ[ωᾶς] χρόνον ἀνενκλήτως, ποι-
οῦντα τὸ ἐπιτασσόμενον πᾶν. εἰ δὲ μὴ ποιέοισα<ν>, ἐξουσίαν ἐχέτω ἐπιτειμέ-
ουσα Εὐπορία τρόπῳ ᾧ κα θέλῃ. μετὰ δὲ τὰν [ἰδία]ν τελευτὰν δότω Ἐπαφρῶ
τῷ ἐγγόνῳ μου Γλαυκίᾳ Λύσωνος βρ[έ]φη διετῆ τρία. ἐὰν δὲ μὴ ἔχῃ τὰ βρέφη, δό-
τω δεινάρια διακόσια· καὶ Ἐπιφάνεα δότω τῷ υἱῷ μου Σ[ωστράτῳ] μετὰ ἔτη πέντε
παιδίον τριετές, καὶ μετὰ ἔτη τρία κ[αὶ τῷ ἐγ]γόνῳ μου Γλαυκίᾳ παιδίον τριετές,
καὶ ἔστωσαν ἐλεύθεραι Ἐπα[φρῶ καὶ] Ἐπιφάνεα, μηδενὶ μηδὲ[ν π]ροσ[ήκ]ουσαι, κα-
θὼς ἐπίστευσαν τῷ θεῷ τὰ[ν ὠ]νὰν Ἐπα[φ]ρῶ καὶ Ἐπιφάνεα, ἐφ' ᾧτε ἐλευθέρας εἶμεν κ[αὶ]
ἀνεφάπτους τὸν πάντα χρόνον. εἰ δέ τις ἐφάπτοιτο τῶν πρ[ογε]γραμμένων σωμάτων
ἐπὶ καταδουλισμῷ, βέ[βαιον] παρεχόντω τῷ θεῷ τὰν ὠν[ὰν ἅ τ]ε ἀποδομένα καὶ οἱ
βεβαιωτῆρες. ὁμοίως δὲ καὶ ὁ παρατυχὼν κύριος ἔστω συλέω<ν> τὰ προγεγραμμέ[να]
σώματα εἰς ἐλευθερίαν, ἀζάμιος ὢν καὶ ἀνυπόδικος πάσας δίκας καὶ ζαμίας. τι-
θέμεθα δὲ τὰν ὠνὰν κατὰ τοὺς νόμους τᾶς πόλιος, τὰν μὲν ἐν τὸ ἱερὸ[ν]
τοῦ Ἀπόλλωνος ἐνχαράξαντες, τὰν δὲ ἐν τὰ δαμόσια τᾶς πόλιος γρά[μ]-
ματα διὰ τοῦ γραμματ[έως Ἀ]βρομάχου τοῦ Ξεναγόρα, καθὼς συνευαρέσ-
τησαν παρὼν ὁ υἱός μου Σώ<σ>τρατος καὶ τοῦ ἐγ<γ>όνου τοῦ Γλαυκί[α ὁ π]ατὴρ Λύσων.
μάρτυρες οἱ ἱερ<ε>ῖς τοῦ Ἀπόλλων<ος> Διονύσι<ος> Ἀστοξένου, Δάμων Πολεμάρχου,

Ἄρχων Σα................ Μϵλισ<σ>ίων Λαιά[δα], Σ............